ἡ τιμωρία ἢ μικρὰ ᾖ. καὶ τὰ ἴσα. καὶ ἃ μηδείς. καὶ τὰ
περιττά· τιμὴ γὰρ οὕτω μᾶλλον. καὶ τὰ ἁρμόττοντα αὐτοῖς·
τοιαῦτα δὲ τά τε προσήκοντα κατὰ γένος καὶ δύναμιν καὶ
ὧν ἐλλείπειν οἴονται. κἂν μικρὰ ᾖ. οὐδὲν γὰρ ἧττον προαι
ροῦνται ταῦτα πράττειν. καὶ τὰ εὐκατέργαστα. δυνατὰ γὰρ
καὶ ῥᾴδια. εὐκατέργαστα δὲ ἃ πάντες ἢ οἱ πολλοὶ ἢ οἱ ὅ
μοιοι ἢ οἱ ἥττους κατώρθωσαν. καὶ ἃ χαριοῦνται τοῖς φίλοις.
ἢ ἃ ἀπεχθήσονται τοῖς ἐχθροῖς. καὶ ὅσα οὓς θαυμάζουσι προ
αιροῦνται πράττειν. καὶ πρὸς ἃ εὐφυεῖς εἰσὶ καὶ ἔμπειροι.
ῥᾷον γὰρ κατορθώσειν οἴονται. καὶ ἃ μηδεὶς φαῦλος. ἐπαι
νετὰ γὰρ μᾶλλον. καὶ ὧν ἐπιθυμοῦντες τυγχάνουσιν. οὐ γὰρ
μόνον ἡδὺ ἀλλὰ καὶ βέλτιον φαίνεται. καὶ μάλιστα ἕκαστοι
πρὸς ἃ τοιοῦτοι. οἷον οἱ φιλόνικοι εἰ νίκη ἔσται. οἱ φιλότιμοι
εἰ τιμή. οἱ φιλοχρήματοι εἰ χρήματα. καὶ οἱ ἄλλοι ὡσαύτως.
περὶ μὲν οὖν ἀγαθοῦ καὶ τοῦ συμφέροντος, ἐκ τούτων ληπτέον
τὰς πίστεις. ἐπεὶ δὲ πολλάκις ὁμολογοῦντες ἄμφω συμφέ
ρειν. περὶ τοῦ μᾶλλον ἀμφισβητοῦσιν, ἐφεξῆς ἂν εἴη λε
κτέον περὶ τοῦ μείζονος ἀγαθοῦ καὶ τοῦ μᾶλλον συμφέροντος.
ἔστω δὴ ὑπερέχον μὲν τὸ τοσοῦτον καὶ ἔτι. ὑπερεχόμενον δὲ
τὸ ἐνυπάρχον. καὶ μεῖζον μὲν ἀεὶ καὶ πλεῖον πρὸς ἔλαττον,
μέγα δὲ καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον πρὸς τὸ τῶν πολλῶν
μέγεθος. καὶ ὑπερέχον μὲν τὸ μέγα. τὸ δὲ ἐλλεῖπον μικρόν.
καὶ πολὺ καὶ ὀλίγον ὡσαύτως. ἐπεὶ οὖν ἀγαθὸν λέγομεν
τό τε αὐτὸ αὑτοῦ ἕνεκα καὶ μὴ ἄλλου αἱρετόν. καὶ οὗ πάντ᾽ ἐφίεται
καὶ ὃ νοῦν ἂν καὶ φρόνησιν λαβόντα ἕλοιτο. καὶ τὸ ποιη
τικὸν καὶ φυλακτικόν. ἢ ᾧ ἕπεται τὰ τοιαῦτα. τὸ δ᾽
οὗ ἕνεκα τὸ τέλος ἐστί. τέλος δέ ἐστιν οὗ ἕνεκα τὰ ἄλλα, αὑτῷ
δὲ ἀγαθὸν τὸ πρὸς αὑτὸν ταῦτα πεπονθός, ἀνάγκη τά τε πλείω
τοῦ ἑνὸς καὶ τῶν ἐλαττόνων συναριθμουμένου τοῦ ἑνὸς ἢ τῶν

http://digital.slub-dresden.de/ppn346251060/30